# [Ek toy aphrodision - suite]

### Auteur : Foucault, Michel

## Présentation de la fiche

Coteb028_f0290
SourceBoite_028-3-chem | Musonius.
LangueFrançais
TypeFicheLecture
RelationNumérisation d'un manuscrit original consultable à la BnF, département des Manuscrits, cote NAF 28730

## Références éditoriales

Éditeuréquipe FFL (projet ANR *Fiches de lecture de Michel Foucault*) ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle).
Droits

- Image : Avec l'autorisation des ayants droit de Michel Foucault. Tous droits réservés pour la réutilisation des images.
- Notice : équipe FFL ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle). Licence Creative Commons Attribution – Partage à l'Identique 3.0 (CC BY-SA 3.0 FR).

Notice créée par équipe FFL Notice créée le 22/03/2021 Dernière modification le 23/04/2021

---

κακοὺς μόνα μὲν ἀφροδίσια νομίζειν δίκαια τὰ ἐν γάμῳ καὶ ἐπὶ γενέσει παίδων συντελούμενα, ὅτι καὶ νόμιμά ἐστιν· τὰ δέ γε ἡδονὴν θηρώμενα ψιλὴν ἄδικα καὶ παράνομα, κἂν ἐν γάμῳ ᾖ. συμπλοκαὶ δ' ἄλλαι αἱ μὲν κατὰ μοιχείαν παρανομώταται, καὶ μετριώτεραι τούτων οὐδὲν αἱ πρὸς ἄρρενας τοῖς ἄρρεσιν, ὅτι παρὰ φύσιν τὸ τόλμημα· ὅσαι δὲ μοιχείας ἐκτὸς συνουσίαι πρὸς θηλείας εἰσὶν ἐστερημέναι τοῦ γίνεσθαι κατὰ νόμον, καὶ αὗται πᾶσαι αἰσχραί, αἵ γε πράττονται δι' ἀκολασίαν. ὡς μετά γε σωφροσύνης οὔτ' ἂν ἑταίρᾳ πλησιάζειν ὑπομείνειέ τις, οὔτ' ἂν ἐλευθέρᾳ γάμου χωρὶς οὔτε μὰ Δία θεραπαίνῃ τῇ αὑτοῦ. τὸ γὰρ μὴ νόμιμον μηδ' εὐπρεπὲς τῶν συνουσιῶν τούτων αἶσχός τε καὶ ὄνειδος μέγα τοῖς θηρωμένοις αὐτάς· ὅθεν οὐδὲ πράττειν φανερῶς οὐδὲν ἀνέχεται τῶν τοιούτων οὐδείς, κἂν ἐπ' ὀλίγον ἐρυθριᾶν οἷός τε ᾖ, ἐπικρυπτόμενοι δὲ καὶ λάθρᾳ οἵ γε μὴ τελέως ἀπερρωγότες ταῦτα τολμῶσιν.

---

**3** s. exscripsit Clemens Alex. paedag. II 10, 92 p. 225 P.: *ψιλὴ γὰρ ἡδονή, κἂν ἐν γάμῳ παραληφθῇ, παράνομός ἐστι καὶ ἄδικος καὶ ἄλογος.* cf. Sexti sent. 231. 232 Elt. *μοιχὸς τῆς ἑαυτοῦ γυναικὸς πᾶς ὁ ἀκόλαστος. Μηδὲν ἕνεκα ψιλῆς ἡδονῆς ποίει.* numquam temperantiam ad voluptates venire *propter ipsas* dicit Sen. ep. 88, 29 **4** ss. Ps.-Luc. amor. c. 20 *ἡ πάντα τολμῶσα τρυφὴ τὴν φύσιν αὐτὴν παρενόμησε* **7** *τὸ τόλμημα*] respicitur Platonis leg. I p. 636 C. an praeeunte Panaetio vel Posidonio? **14** *ὅθεν* — **17** *τολμῶσιν*] cf. Arr. Epict. III 22, 14. horum consimilia obtulerat Panaetius *περὶ*

---

**1** *τὰ* (ut tacite corr. Gesn.$^2$) A: *τῷ* M$^d$ ‖ **3** *τὰ γέ δε* A ‖ **4** *κἂν* (ut tacite corr. Gesn.$^2$) LA: *καὶ* M$^d$ ‖ **7** *συνουσίαι* Iacobs animadv. in Stob. p. 231: *οὖσαι* LM$^d$A ‖ **8** *καὶ* om. L ‖ **10** *οὔτ'* Meineke: *οὐκ* LM$^d$A | *ἑτέρᾳ* A$^1$ corr. A$^2$ | *πλησιάσαι* A, recepit Meineke ‖ **11** *ἐλευθέρια* L ‖ **12** *αὑτοῦ* tacite Meineke: *αὐτοῦ* libri ‖ **13** *τούτων* om. A ‖ **15** *οὐδείς*, ⟨ὃς⟩ *κἂν* Meineke Stob. flor. v. IV p. LVII, sed transferebant *καί* particulam, quia invaluerat *κἂν* formula. ut idem sit quod *ἐὰν καὶ*, cf. Arr. Epict. diss. IV 7, 40

BnF MSS

Fichier issu d'une page EMAN : http://eman-archives.org/Foucault-fiches/items/show/18134?context=pdf

Fichier issu d'une page EMAN : http://eman-archives.org/Foucault-fiches/items/show/18134?context=pdf